Αὐξηθέντων οὖν αὐτῶν ἐν τοῖς Ἀγαρηνῶν ἔθεσι, ὁ τούτων πατὴρ ἐξέδοτο αὐτοὺς πρὸς γάμον ταῖς συνέθνοις καὶ ὁμοφύλοις αὐτῶν γυναιξίν. Εἷς δέ τις τοῦ ἀριθμοῦ τῶν ἑπτὰ τοὔνομα Δαχάκ, ὃς παρ' Ἕλλησιν μεθερμηνευόμενος, Γελάσιος προσηγόρευται· τρίτος ἐν τῷ τῆς γενεαλογίας χ- χρόνῳ καταλεγόμενος ρῳ τῆς ἑβδομάδος τῶν παίδων, ἄζυγα ἑαυτὸν διετήρησεν, μὴ ἀναδεχόμενος γάμῳ προσομιλῆσαι· μᾶλλον βουλόμενος τῇ τῶν Χριστιανῶν μεθαρμοσθῆναι πίστει, καὶ τῷ Κυρίῳ ἡμῶν

abstergens, sancti-ctificato rursus oleo faciem ac caput inungunt. Hicce modus prærogati illis diuini arrhabonis.

Iis itaque Agarenorum moribus adultos, pater gentis eiusdem tribulibusque vxoribus matrimonio copulat. Quidam verò è septem nomine Dachac (quod Græcè *Gelasius* interpreteris) in eo fratrum choro, tertius ipse natu, seipsum cœlibem seruauit, nuptias adire non sustinens; magisque studens Christianorum aptari fidei, ac Domino no-

Dachac, qui & Bacchus, patris metu occultus Christianus.

ſtro Ieſu Chriſto meipſum elocare. Ac ſicut ſcintilla quædam in cinere occulta, obſcura manet, quoaduſque manifeſtationis tempus appetierit; ſic & venerabilis hic Dachac, paterno obrutus metu, obſcurus ignotuſque Chriſtianis erat; clamque animo bonum recondens, paternam verebatur ſæuitiam; nec cordis ſui deſiderium in apertum prodebat; ſed occultè ſecum ipſe, vniuerſorum Deo cultum adhibere legitimum putabat.

Interea in impuro pater furore perſeuerans, vitamque Agarenicis moribus traducens, abrupto vitæ filo, in ſua mor-

Ἰησοῦ Χριστῷ ἑαυτὸν νυμφεύσασθαι. καὶ καθάπερ τις σπινθὴρ ἐν σποδιᾷ κεκρυμμένος ἀφανὴς καθέστηκεν, μέχρις ὅτου καιρὸν ἀνακαλύψεως λάβῃ· οὕτως ὁ τίμιος οὗτος Δαχὰκ, τῷ πατρικῷ δέει συγκεχωσμένος, ἄδηλος καὶ ἀφανὴς τοῖς Χριστιανοῖς ἐτύγχανεν· καὶ ἐν ὑπονοίᾳ τὸ ἀγαθὸν θησαυρίζων, ἐδεδίει τὴν τοῦ πατρὸς ἀπήνειαν· καὶ εἰς τοὐμφανὲς τὸ αὐτοῦ οὐκ ἐπλήρει ἐπιθύμιον· λαθραίως δὲ, καὶ καθ' ἑαυτὸν, τὸ τῷ ἁπάντων Θεῷ τὸ σέβας νέμειν θεμιτὸν ᾤετο. ἐπεπλήροι.

Ὁ δὲ τούτου πατὴρ, ἐν τῇ μυσαρᾷ ἐπιμένων μανίᾳ, καὶ τῷ Ἀγαρηνικῷ ἀναστρεφόμενος ἔθει, τὸ

ζωῆς ἀποῤῥαγεὶς, τέθνηκεν ἐν τῇ οἰκείᾳ παρανομίᾳ, τοῦ ἀσβέστου πυρὸς καὶ τοῦ ἀκοιμήτου σκώληκος ἑαυτὸν ταμιευσάμενος παρανάλωμα. ὁ δὲ προειρημένος Δαχὰκ τοῦ πατρικοῦ γυμνωθεὶς φόβου, καὶ τῷ τοῦ γεννέτου θανάτῳ ζωοποιηθεὶς, ἔτι τε καὶ τῆς τιμιωτάτης μητρὸς εἰδὼς πίστιν· καὶ καθάπερ τι λαμπάδιον ἐκ ζοφερᾶς καταθέσεως ἀνακαλύψαι, φησὶ πρὸς αὐτὴν, Ὦ μῆτερ, ἐπείπερ ὁρῶ σε στυγνὴν καὶ μισόθεον τῆς μυσαρᾶς τῶν Ἀγαρηνῶν θρησκείας, βούλομαι γενέσθαι Χριστιανὸς, καὶ τῇ τῶν Χριστιανῶν ἑαυτὸν ἐμπολιτογραφῆσαι ἐκκλησίᾳ.

ἀνακύψαι.

tuus insania est, ipse inextinguibilis ignis vermisque insoporabilis pabulum reseruans. Quem autem dixi, Dachac, paterno solutus metu, ac parentis interitu ipse vitam adeptus, cùm & adhuc summè venerabilis matris eum fides non lateret; velut denique facula ex caliginoso erumpens sinu oriensque, eam sic affatur. O mater, impuræ Agarenorum sectæ inuisam impietatem cernens, Christianus fieri, inque Christianorum Ecclesiæ tabulas nomen dare, volo.

Matri proditus animus Christianus.

Verè autem Deo religioſa, piáque in liberos ac veneranda parens, noua auditione attonita, animumque gaudio ac ſtupore partiens, vocis inops manſit. Accenſoque amore victa, eius collo arctius implicatas manus tenens, inſatiabilis oſculis erat, eiuſcemodi ad eum ſermones fundens: Beatus es, fili! quòd tantam gloriam nanciſci cogitaueris. Firmum itaque ac immobile mentis tuæ conſtabilito fundamentum, ſedulóque quæ ſit Chriſtianorum opinio, quæ doctrina, cognoſce. Caue igitur retro conuertaris, pater-

Matris pietas; accenſaque ad filium adhortatio.

Ἡ δὲ ὄντως φιλόθεος καὶ φιλόπαις καὶ τιμία μήτηρ, τῷ παραδόξῳ ἀκούσματι θαμβηθεῖσα, καὶ πρὸς χαρμονὴν καὶ κατάπληξιν τὴν ἑαυτῆς διάνοιαν μερισθεῖσα, μεμύηκεν ἀχανής. τῷ δὲ ἐμπύρῳ τοῦ ἔρωτος νικηθεῖσα, τὰς χεῖρας τοῖς αὐτοῦ μεταφρένοις πλήγδην ἐπιστήσασα, ἀκορέστως ἠσπάζετο, τοιούτοις πρὸς αὐτὸν προχέουσα λόγους· Μακάριος εἶ, ὦ τέκνον, ὅτι περ ἐν τοσαύτῃ δόξῃ σαυτὸν ἐγκαταστῆσαι διενοήθης. στήριξον οὖν τὸ τῆς διανοίας σου θεμέλιον ἀκλινῆ καὶ ἀμετακίνητον, καὶ ἐμμελῶς γνῶθι τὴν τῶν Χριστιανῶν δόξαν. μὴ ὀπίσω, καὶ φύγῃ τῆς πα-

πλέκ- δλίω.

ῴων γραφῆς εἰς τὰ

τρώας παρανομίας συμμέτοχος. μετάστηθι οὖν ὡς στρουθίον ἐπὶ τὸ τῆς πίστεως ὄρος, τὰ τοῦ Βελίαρ ἐκφεύγων παγιδευτήρια. μὴ κάμψῃς εἰς δεξιὰ μηδὲ εἰς ἀριστερά, ἀλλ᾽ ἀνενδότῳ πορείᾳ βάδιζε, μέχρις ὅπου τοῦ βαπτίσματος δέξῃ τὸ ἄσυλον τάλαντον. μή σου σινιάσοι τὸν νοῦν ὁ ἀπατεὼν καὶ μισόκαλος, καὶ τῆς καλλίστης ἐκκόψῃ προθέσεως· ἀλλ᾽ ἀμεταστρέπτῳ ποδί, ὦ παῖ, τὴν ἀγαθὴν στέλλου πορείαν, μεμνημένος καὶ τῆς ἐμῆς ἀναξιότητος. ὦ μητρὸς εὐσεβοῦς, ἥτις ἐθελόθυτον τῷ Θεῷ ταῖς παραινέσεσι θῦμα προσενήνοχεν. ὦ ῥίζης ἀγαθῆς καὶ εὐκάρπου ἀρούρας, ἥτις

nique sceleris sociusefficiaris. Transmigra vt passer ad fidei montem, Beliaris laqueos fugiens. Psal. 10. 2. Non declines ad dexteram neque ad sinistram, sed constans cœpto perge itinere, donec Baptismatis inuiolabile talentum consequare. Ne menti tuæ seductor boniquė osor labem inferat, optimoque proposito moram faciat; verum irreflexo pede, fili! bonum iter perge, meę ipsius indignitatis memor. O piam ac religiosam matrem, quæ spontaneam Deo hostiam adhortationibus obtulerit! O bonam radicem aruumq; ferax, quod spicam suam in pa-

nesconflatam, conditumq; omnis generis dapium ſpiritale epulum, Eccleſiæ alumnis appoſuerit!

Exempla mulierũ fortium.

Eiuſcemodi ergo admonitionum verbis beata illa, veréque animi mater, velut olim in Quadraginta Martyribus mater fortiſſima, filium roborando; ac (ſicut de venerabili Natalia audimus) ſuæ radicis ramum hortamentis rigans, ad propoſiti conſtantiam firmauit.

Ocyuſque ſurgens, quem diximus, Dachac, patria profectus, Hieroſolyma venit, religioſæque pietatis ardore incenſus, cum necdum ſanctiſſimum Baptiſma conſecu-

τὴν ἑαυτῆς στάχυν ἀρτοκοπήσασα, καὶ πολυδαισίαν ἄϋλον κατασκευάσασα, τοῖς τῆς ἐκκλησίας τροφίμοις παρέθηκεν.

Τοιούτοις τοῖς νουθετικοῖς λόγοις ἡ μακαρία καὶ ὄντως ψυχῆς μήτηρ, ὥσπερ ἡ πάλαι ἐν τοῖς τεσσαράκοντα μάρτυσιν ἀνδρικωτάτη μήτηρ, τὸν ἑαυτῆς υἱὸν ἐνισχύουσα· καὶ καθὼς τὴν σεβάσμιον Ναταλίαν ἀκούομεν, ταῖς παραινέσεσι τὸν τῆς ἰδίας ῥίζης κλάδον καταρδεύσασα, ὠχύρωσεν πρὸς τὸ προκείμενον.

Καὶ θᾶττον ἀναστὰς ὁ εἰρημένος Δαχὰκ, τῆς ἐνεγκαμένης ἀπαίρει· καὶ γενόμενος ἐν Ἱεροσολύμοις, καὶ τῷ τῆς φιλοθείας ἐμπύρῳ νικώμενος, μήπω τοῦ παναγίου τετυχη-

κῶς βαπτίσματος, τολ-
2. μηρῷ ποδὶ[2] ἐντὸς τῆς ἁ-
γίας Ἀναστάσεως γέγονεν·
οὐ τὸ πανάγιον ἐκεῖνο πε-
ριφρονητικῶς καθυβρί-
ζων τέμενος· ἄπαγε·
ἀλλὰ τῷ τῶν λογισμῶν
διακαεῖ ἔρωτι ὡς ὑπό
τινων πρὸς τοῦτο ὠθού-
μενος· καὶ πλησίον τοῦ
ζωηρύτου μνήματος στάς,
ἐξ οὗπερ ἡ σωτηρία τῷ
γένει τῶν Χριστιανῶν ἐπή-
γασεν, κλαυθμῷ καὶ δά-
κρυσιν μεμιγμένας πρὸς
Θεὸν ἐφθέγγετο δεήσεις.

Μή με βδελύξῃ τὸν ἀλλότριον, ὦ Σῶτερ, μηδὲ ἀπώσῃ τὸν πρὸς τὸ πέλαγος τοῦ ἐλέους σου προσπεφευγότα. μὴ ἀπορρίψῃς με εἰς σὲ δεδραμηκότα, ὁ τὸ ἀπολωλὸς τῆς ἀνθρωπίνης

tus eſſet, præſidenti pede intra ſanctam Reſurrectionem ſubit; non vt ſanctiſſimum illud delubrum contemptu violaret; Abſit: ſed qui accenſo cogitationum amore, velut aliquorum impulſu, eò vrgeretur. Stanſque prope vitalis venæ Monumentum, ex quo Chriſtianorum genti manauit ſalus, gemitu atque lacrymis commixtas Deo preces loquebatur.

Dachaci feruor ante Baptiſmum.

Ne me, Saluator, vt extraneum abomineris; nec repuleris, qui ad tuæ miſericordiæ pelagus confugiam. Ne me proieceris ad te profugum, qui humanæ naturæ cen-

Ad Chriſtum oratio.

l.

Matt. 18. 12. tesimam ouem, quæ perierat, quærendo reuocasti.
Luc. 15. 14. Me quoque suscipe, qui ad horam
Matt. 20. 47. vndecimam veni ad te, meque sancto tuo gregi adiunge; tu, inquam, qui propter viscera misericordiæ carnis particeps effectus, & cum humano genere conuersatus, nec Cruci affigi dedignatus es. Miserere animæ meæ vitiis sordidatæ, eamque sacri Baptismatis lauacro ab ea depurga labe. Hæc, aliaquæ quædam adprecatus verba, immensam lacrymarum vim affundens, quod vitam dedit sepulcrum osculabatur.

Vir autem qui-

ἑκατοντάδος ζητητικῶς ἀνακαλεσάμενος πρόβατον. δέξαι κἀμὲ τὸν περὶ τὴν ἑνδεκάτην ὥραν πεφθακότα πρὸς σέ, καὶ συναρίθμησόν με τῇ ἁγίᾳ σου ποίμνῃ, ὁ διὰ σπλάγχνα ἐλέους σαρκὸς μετασχὼν, καὶ τῷ ἀνθρωπίνῳ γένει συναναστραφεὶς, καὶ σταυρῷ προσπαγεὶς ἑκουσίως. ἐλέησον τὴν μολυνθεῖσαν ἐν πάθεσι ψυχήν μου, καὶ κάθαρον αὐτὴν τοῦ ῥύπου τῷ λουτρῷ τοῦ βαπτίσματος. ἐπειπών τε καὶ ἕτερα τινὰ δεητικὰ ῥήματα, ἠσπάσατο τὸν ζωοδότην τάφον, ἀμείβων τοῦτον καταρδεύων τοῖς δάκρυσιν.

Ἀνὴρ δέ τις τῆς λαοῦ-

Ἀνάστασιν.

ρας τοῦ ἁγίου Σάβα, ἀσκητικὸν περικείμενος σχῆμα, ἔκ τινος συμβεβηκότος εἰσεληλύθει εἰς τὴν ἁγίαν Ἀνάστασιν. ὃς, τὴν αὐτοῦ ἀποδοὺς εὐχὴν, καὶ ὀπισθίως ἀναποδίσας, ἐφεζόμενος ἦν ἑνὶ τῶν σκάμνων· καὶ τῆς προσευχῆς ἑωρακὼς τὸ σύντονον, ὀδυρμοῖς καὶ δάκρυσιν πεφυρμένον, καὶ ἐκ βαθυτάτης τῆς καρδίας ἐκπεμπομένους στεναγμοὺς, καὶ τὸ τῶν ῥημάτων λυπηρὸν, καὶ τῆς στερνοτυπίας τὸ ἀλλεπάλληλον, σπουδαίως τε ἅμα καὶ συμπαθῶς τὴν αἰτίαν ἠρώτα, καὶ περὶ πολλοῦ μαθεῖν ἐποιεῖτο, τὴν τῆς θρηνῳδίας ὑπόθεσιν.

Ὁ δὲ τίμιος ἀνὴρ Δαχὰκ

dem è ſanĉti Sabæ Laura Monachus, caſu quodam in ſanĉtam Reſurreĉtionis ædem ingreſſus, vota ſua Deo redditurus, tantiſper retraĉto pede in quodam ſcamno ſedebat. Is, conſpeĉta precum inſtantia, feruoreque gemitibus atque lacrymis commixto: imo quoque ex peĉtore trahentibus ſuſpiriis verbiſque triſtibus ac peĉtoris crebra tunſione, anxiè pariter ac miſeranter cauſam exquirebat, & vt ſic lamentabilis luĉtus cauſam condiſceret, etiam atque etiam ſatagebat.

Tum venerabilis Dachac viro

religiosissimo, puerilis æui omne institutum narrat; patrem desertorem; matrem religiosissimam fœminam: nuncque, ait, eo hîc desiderio succensus adsum, vt sancti Baptismatis compos efficiar.

Ad quem religiosissimus Senex, vbi comperit necdum eum sanctum Baptisma suscepisse, Quid verò causæ est, cur sic audacter intra Sancta sanctorum ingressus es, diuinumque solum indigno calcasti pede, qui absurdæ temeritatis reatu te tibi iudicium scias thesaurizare?

Venerabilis porro Dachac, pro insita

διηγήσατο τῷ θεοσεβεστάτῳ ἀνδρί, τὴν ἐκπάλαι τῆς νηπιώδους αὐτοῦ ἡλικίας διαγωγήν· τήν τε τοῦ πατρὸς ἀποστασίαν, καὶ τὴν τῆς μητρὸς εὐσέβειαν· καὶ ὅτι ἐνταῦθα πάρειμι, ἐπιποθῶν τυχεῖν τοῦ ἁγίου βαπτίσματος.

Ὁ δὲ θεοφιλὴς γέρων, μαθὼν παρ' αὐτοῦ ὅτι οὔπω τὸ ἅγιον ἐδέξατο βάπτισμα, ἔφη πρὸς αὐτόν. Καὶ ἵνα τί οὕτως τολμηρῶς ἐντὸς τοῦ ἁγίου τῶν ἁγίων γεγένησαι, καὶ ἀναξίῳ ποδὶ τὸ θεῖον ἐπάτησας ἔδαφος, εἰδὼς ὅτι κρίμα ἑαυτῷ ἐθησαύρισας τοῦ ἀτόπου τολμήματος.

Ὁ δὲ τίμιος Δαχὰκ ἀπεκρίνατο τῇ ἐνούσῃ

αὐτῷ ἠπιότητι, ἠρεμαίᾳ πρὸς αὐτὸν τῇ φωνῇ· Οὐ τὴν ἐμαυτοῦ ἀγνοῶν ἀναξιότητα, οὐδὲ τὴν ἐπηρτημένην ὀργὴν τοῖς ἀναξίως προσβαίνουσιν τοῖς ἱεροῖς, τοῦτο πέπραχα· ἀλλὰ τῇ παμπληθεῖ εὐσπλαγχνίᾳ τοῦ Θεοῦ πεποιθὼς, ὃς πόρνοις καὶ τελώναις συνεστιάθη, καὶ Σαμαρείτιδι διελέχθη. καὶ ταῖς τοιαύταις ἐννοίαις ὡς οὐρανίαις καθελκόμενος, ψυχικῷ ἅλματι εἰς τὰ τῶν ἁγίων γεγένημαι.

Ὁ δὲ τὴν τοῦ ἀνδρὸς ἀγάμενος πίστιν, λαβόμενος αὐτὸν τῆς χειρὸς ἔτι πνευστιῶντα καὶ δακρύοντα, ἐξήγαγε· καὶ τὸ τῆς πορείας ἅμα αὐτῷ διανύσας διάστημα, κατήχθη ἐν τῷ ξενοδοχείῳ τοῦ

ei lenitate ſubmiſſa voce in hæc verba reſpondit. Non meæ neſcius indignitatis, ac dirarum illis impendentium, qui indignè ſacris accedunt, iſtud feci; ſed nimirum de copioſiſſima Dei miſericordia fretus, qui cum meretricibus & publicanis veſcebatur, & cum Samaritana ſermonem miſcuit. Eiuſcemodi rationibus vt cœleſtibus tractus, quaſi animo ſaliens intra Sancta irrui.

At ille, viri fidem admiratus, prehenſum manu adhuc anhelantem ac lacrymis offuſum, templo eduxit; vnaque cum illo peracto viæ itinere, ad ſancti Sa-

bæ Xenodochium, quod eſt Hieroſolymis, ac à Conſtantinopolitanis Metochium vocatur, deſcendit. Conſuetoque hoſpitij iure ſuſcepti, ab eoque cui miniſterij tum cura commiſſa erat, abundè cibo recreati, ſurgentes, ad ſancti Sabæ Lauram (in qua & ille Monachum agebat) proficiſcuntur. Ad eam cum acceſſiſſent, ingreſſus Senex, ſeorſumque cum Præpoſito collato ſermone, quæ ad venerabilem Dachac ſpectabant, clarè retulit omnia. Quo iubente introductus eſt, proſtratus in ienua, ac ſolitam Monachis faciens reuerentiam.

ἁγίου Σάβα, τοῦ ὄντι ἐν
Ἱεροσολύμοις, τὸ λεγό-
μενον παρὰ τῶν Κων-
σταντινουπολιτῶν 3 Με- 3.
τόχιον· καὶ τῆς συνήθους
μεταλαβόντες ξενίας, καὶ
τροφῆς ἐμφορηθέντες ὑ-
πὸ τοῦ κατ᾽ ἐκεῖνο καιροῦ
τὴν διακονίαν ἐγκεχει-
ρισμένου, ἀναστάντες ᾤ-
χοντο εἰς τὴν λαύραν τοῦ
ἁγίου Σάβα, ἧς καὶ ὁ
μοναχὸς ἐτύγχανεν· καὶ
τῇ μονῇ πλησιάσαντες,
εἰσελθὼν ὁ γέρων, καὶ τῷ
ἡγουμένῳ κατ᾽ ἰδίαν πε-
ριτυχών, ἅπαντα αὐτῷ
διεσάφησεν τὰ κατὰ τὸν τί-
μιον Δαχάκ. καὶ κελευ-
σθεὶς παρὰ τοῦ προεστῶ-
τος, εἰσήγαγεν αὐτὸν γόνυ
πρὸς γῆν κεκλικότα,
καὶ 4 τὴν συνήθη μοναχοῖς 4.
πεποιηκότα μετάνοιαν.

Θεασά-

Θεασάμενος οὖν ὁ τῆς λαύρας προεστὼς σεβάσμιος ἀνὴρ, ἐκδιηγεῖσθαι αὐτὸν παρεκελεύσατο τὰ τῆς οἰκείας διαγωγῆς· ὁ δὲ ἅπαντα διηγόρευσεν, ἓν ἐξαιτῶν καὶ δεόμενος, χρῖσαι αὐτὸν τῷ ἁγίῳ βαπτίσματι· ὁ δὲ θεοφιλὴς ἡγούμενος πρὸς αὐτὸν, Οὕτως τέκνον, εἰ ἦν μοι ἀκίνδυνον, προαιρέσεως εἶχον, οὐ μόνον σὲ, ἀλλὰ καὶ πάντας τοὺς ἐν τῇ ὑφηλίῳ, τῷ ἁγίῳ φωτίσαι βαπτίσματι. ἀλλ᾽ ἴσθας, ὦ φίλτατε, ὁποῖος τοῖς τὰ τοιαῦτα τολμῶσι τῆς τιμωρείας ἐπήρτηται κίνδυνος. καὶ γὰρ ἐφ᾽ ἅπασαν τὴν αὐτῶν ἐξου-
5. σίαν, 5 τοιόνδε διήγγελται κήρυγμα, Ὡς εἴ τις

Conſpecto itaque Iuuene, Lauræ Præpoſitus vir reuerendus, vitæ ſuæ inſtitutum omne ac educationem iuſſit enarrare. Ille palã edicere omnia, vnum flagitans ac rogans, vt ſacro illum Baptiſmo inungeret. Ad quem religioſiſſimus Præpoſitus, Planè fili, ſi mihi à periculo foret liberum, nedum te, ſed&omnes qui ſub ſole ſunt, propenſo animo ac volente, ſancto Baptiſmate illuminarẽ. Verùm non neſcis, chariſſime, quantum illis diſcrimen impendat, qui eiuſmodi aliquid præſumpſerint. Quantũ enim eorum protenditur ditio, eiuſmodi promulgarunt edictum.

Agarenorum lex; seuerè Turcis etiamnum seruata.

Si quem aliquis ab Agarenorum auocare religione, ad suamque trahere fidem, deprehensus fuerit, capitali ipse sententia luito; eiusque omnis familia ac Ecclesia, flammis absumatur. Humani porro supplicij metus, diuinæ modum doctrinæ impedire nouit.

Venerandi igitur Baptismatis amator ac candidatus, quicquid diceretur nihil ipse obnitens, flexis genibus orando persistebat, largisque lacrymarum riuis Præpositi palmas irrigans, diras quasdam ex animi dolore profectas admiscebat.

Tanta itaque illa lacrymarum vi in-

φωραθείη ἀπὸ τῆς τῶν Ἀγαρηνῶν ἀπατεώνων θρησκείας, καὶ τῇ ἰδίᾳ προσάγων πίστει, φονικῷ κατακείνεσθαι ξίφει, ἁπάσης τῆς ἐνούσης αὐτῷ οἰκίας καὶ ἐκκλησίας πυρκαϊᾷ παραδιδομένης. καὶ ὁ τῆς ἀνθρωπίνης τιμωρίας φόβος, οὐδὲν κωλύειν τὸν τοῦ Θεοῦ διδασκαλίας τὸν τρόπον.

Ὁ γοῦν τοῦ τιμίου βαπτίσματος ἐραστὴς, πρὸς μηδὲν τῶν λαλουμένων ἀναχαιτιζόμενος, ἐπέμενε γονυπετῶν καὶ δεόμενος, καὶ ῥεύμασι δακρύων τῶν τοῦ ἡγουμένου ταρσῶν καταβρέχων, κατακείους τινὰς προσμιγνὺς, ἐξ ὀδυνωμένης προερχομένας ψυχῆς.

Ἐπικαμφθεὶς οὖν τῷ τῶν δακρύων ἐσμῷ ὁ

θεοσεβέστατος ἡγούμενος,
ἄπεισιν ἅμα αὐτῷ καὶ τῷ
συνόντι αὖθις μοναχῷ,
ἐν ἐπιτηδείῳ τῆς μονῆς
κρυφαίῳ τόπῳ· καὶ ἐνέγ-
κας στάμνον, τὴν παρ' αὐ-
τοῖς λεγομένην κόλαθον,
ἔπλησεν ταύτην ὕδα-
6. τος· καὶ τὸ τῆς ὀσφύος
περίζωμα τοῦ νεανίσκου
ἀφελόμενος, καὶ τὰς χεῖ-
ρας πρὸς ὕψος σταυρικῶς
μετεωρήσας, ἐτέλεσεν
τὰς εἰωθυίας εὐχὰς
πρὸς τὴν τοιαύτην μυ-
σταγωγίαν· καὶ τὸ τοῦ μά-
καρος λαβόμενος ἔνδυ-
μα, καὶ σὺν αὐτῷ τὸν
παλαιὸν ἄνθρωπον ἀ-
παμφιάσας, ἵστησιν αὐ-
τὸν γυμνόν, τὸ τῆς ἀθα-
νασίας ἀπεκδεχόμενον
ἔνδυμα· καὶ ἄρας ταῖς
χερσὶ τὴν ζωηφόρον

flexus religiosissi-
mus Præpositus, eo
assumpto eiq; tum
comite Monacho,
in locum Monaste-
rij idoneum secre-
tioremque secedit,
vrnaq; allata, quam
illi *colathum* vo-
cant, ipsam aqua
impleuit, ablato-
que adolescentis,
quo lumbos succin-
ctus erat, cingulo,
ac crucis in modum
sublatis in altum
manibus, solitas
eius Sacramenti ri-
tu ac officio pre-
cationes absoluit;
sumptoque beati
Iuuenis vestimento,
ac cum eo, vete-
rem eum hominem
exuens, nudum
statuit immortali-
tatis indumentum
expectantem: tol-
lensque manibus
viuificam eam vr-

Baptismatis infusione inunctio.

nam, ac supra viri caput leuans, immortalitatis ei lauacrum, in sanctæ ac consubstantialis Trinitatis nomine effudit, tanquam vnguentum in capite quod descendit in barbam Aaron, & sicut rorem Hermon, qui descendit in montes Sion, Bacchi ei nomine indito.

Psal 132. 2.

Constitutis autem Hebdomadæ diebus elapsis, ablataque illuminationis (sacro scilicet baptismi ritu candida) veste, etiam atque etiam semper venerabilem Virum rogabat, vt habitum habitu commutaret, atque lucis cumulo lucem asciscеret, ac Angelicum Monachorum ha-

ἐκείνῳ στάμνοι, καὶ ὑπὲρ κεφαλῆς τοῦ ἀνδρὸς ἐπαναβιβάσας, ἐπέχεεν ἐπ' αὐτὸν τὸ λουτρὸν τῆς ἀθανασίας, ἐν τῷ τῆς ἁγίας καὶ ὁμοουσίου Τριάδος ὀνόματι, ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ τὸν πώγωνα τὸν Ἀαρών· καὶ ὡς Ἀερμόνιον δρόσον, τὴν ἐπὶ τὰ ὄρη Σιὼν καταβαίνουσαν, ὀνομάσας αὐτὸν Βάκχον.

Καὶ τῶν τεταγμένων ἡμερῶν τῆς ἑβδομάδος διελθουσῶν, καὶ τῆς φωτιστικῆς ἀφαιρεθείσης ἐσθῆτος, ἠξίου τὸν ἀεισέβαστον τοῦτον ἄνδρα, σχῆμά τι σχῆμα ἀνταλλάξασθαι, καὶ φωτὶ φῶς προσλαβέσθαι, καὶ τὸ τῶν μοναχῶν ἐπενδύσασθαι ἀγγελοπρεπὲς ἐνδυσώπει ἐνδυ-

μα, καὶ τῷ τῶν μοναχῶν ἐγκαταλεχθῆναι κλήρῳ.

Ὁ δὲ θεοσεβὴς ἡγούμενος, καίπερ τἄλλα εὐπειθὴς ὤν, ἐδεδίει, καὶ πρὸς τὸ ἐγχείρημα ἀνεδύετο· μάλιστά γε τὸ νέον τῆς ἡλικίας αὐτοῦ καθορῶν, καὶ τὸ πρὸς ἀπάτην ὀλισθηρὸν τῆς ἀστάτου νεότητος εἰδὼς, πολύ τι πρὸς τὴν ἐγχείρησιν ἀνεβάλλετο. ὑπῆρχεν γὰρ τότε ὁ τίμιος Βάκχος ἔτι ἀκμάζων καὶ σφριγῶν τῇ ἡλικίᾳ, ὡς ἐτῶν ὀκτωκαίδεκα, μήπω ταῖς παρειαῖς τὰ τῶν ἰούλων ἐπανθήσας βλαστήματα, τὰ τῆς τελείας, καὶ ἀνδρικῆς αὐξήσεως τεκμήρια τυγχάνοντα.

Πρέσβεις δ' οὖν κεκινηκὼς τῷ πανοσίῳ ἀνδρὶ

bitum, eorum adlectus collegio, indueret.

Religioſiſſimus autem Antiſtes, etſi alioqui obſequi facilis, metuebat tamen remque exequi detrectabat. Maximè verò, quod adoleſcentis iuuenilem ætatem conſiderabat, nec eius inſtabilis lubricum eum lateret, etiam atque etiam cunctabatur. Erat enim venerabilis Bacchus, florente adhuc & eluxuriante adoleſcentia, annos circiter octodecim natus, necdũ prima genis efforeſcente lanugine, quæ perfecti viriliſque augmenti indicium eſt.

Adhibitis itaque ad ſanctiſſimum Virum interceſſoribus

Monachorum habitu donatus Bacchus.

eiusdem Monasterij primoribus fratribus, illoque eorum supplicatione ac hortatione ad miserendum propensius inflexo, Angelos condecentem sanctissimumq; habitum induitur; ocyus nimirum lucem luce cumulans, priorisque tutamen ac signaculum, posteriorem reportãs.

Bacchi sanctissima exercitatio ac virtutum cultus.

Sanè igitur Exercentium ad pietatem cœtui adiunctus, salutari ac Angelico muneri operique sedulò incumbebat, seipsum exercens ad omne quoduis animis vtile disciplinarum genus. Sic enim ieiunij vigiliarumque exercitatione ac cultu profecerat, vt penè carnis expers ac

τοὺς τῆς αὐτῆς μονῆς προὔχοντας, τῇ αὐτῶν ἱκετείᾳ καὶ παραινέσει πρὸς οἶκτον αὐτὸν ἐπικάμψας, ἐνδιδύσκεται τὸ ἀγγελοπρεπὲς καὶ πανάγιον σχῆμα· θᾶττον φωτὶ φῶς προσλαβόμενος, καὶ τοῦ προτέρου τὸ δεύτερον φρούριον καὶ ἐπισφράγισμα κομισάμενος.

Καὶ δὴ τῷ τῶν ἀσκητῶν ἑσμῷ ἑαυτὸν συναγείρας, εἴχετο τῆς σωτηρίου καὶ ἀγγελικῆς ἐργασίας, γυμνάζων ἑαυτὸν πρὸς πᾶν ὁποιοῦν τῶν ψυχωφελῶν μαθημάτων. νηστείας γὰρ καὶ ἀγρυπνίας ἐς τοσοῦτον ἐφάνη ἐληλακώς, ὡς ἄσαρκος μικροῦ καὶ ἄναιμος τοῖς πολλοῖς

λογίζεσθαι. ἡσυχίας δὲ καὶ ἀοργησίας τοσοῦτον αὐτῷ τὸ περιὸν, ὡς ψαλμικῶς εἰπεῖν, κωφὸς οὐκ ἀκούων, καὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ, συνδιαιτωμένοις ἐνομίζετο. πλουσίαν τε ἑαυτῷ τὸ τῆς ψυχῆς ταμεῖον τὴν ταπείνωσιν θησαυρίσας, οἰκιστὴν ἑαυτὸν καὶ πολιοῦχον τῆς τῶν οὐρανῶν βασιλείας ἀνέδειξεν, εἴπερ ὁ εἰρηκὼς ἀληθὴς, Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. τὸ δὲ τῆς προσευχῆς ἀκόρεστον καὶ ἀπλήστως ἐπιτελούμενον, τίς ἄρα ἀξίως λογογραφήσειεν.

ἴσ. τῷ ταμι-είω, ἢ λεια. κατά.

ſanguinis vulgo habetur. Tāta quietis ſilentiique, tanta ei lenitatis animi patientiæque (vt ſic loquar) exuberantia, vt Pſalmi verbis loquendo, ſurdus ipſe non audiens, mutuſque non aperiens os ſuum, Fratrum contubernio videretur. Vberemque ſibi ipſe animi promptuario ac ſinu Humilitatem recondens, regni cœlorum magnificū ſe ciuem & in eo quaſi principem oſtendit; ſiquidem verax eſt, qui dixit, *Beati pauperes ſpiritu, quoniam ipſorum eſt regnum cælorum.* Orandi autem inſatiabilem inſtantiam ac aſſiduitatem, quę dignè oratio vnquā

Pſal 37. 14.

Matt.5.3.

perſcripſerit? Nullum Viro ſancto horæ tempus certaq; momēta eiuſcemodi operi quaſi ex regulæ præſcripto addicta, ſed quantum ſe dies protendebat, colendæ is orationi ſedulò impendebat; nempe gemmarum inſtar lacrymis admixtos labores in

Pſal. 125. 6. 1. Cor. 9. 6. afflictione ſeminās, quem vetaret nihil (vt Apoſtolicis vtar vocibus) quin laborum manipulos in exultatione ſuo tēpore meſſurus eſſet.

Phil. 3. 13. Quæ enim retro sūt obliuiſcens, & ad anteriora quotidie extendens ſeipſum, diuini eiuſcemodi operis ac cultus ſatietate nulla tenebatur.

Indicta locorum mutatio, Eiuſdem porro Monaſterij verus

οὐκ ἦν γὰρ ὥρας καιρὸς τῷ ὁσίῳ ἀνδρὶ, πρὸς τὴν τοιαύτην ἐργασίαν τετυπωμένος· ἀλλ' ἅπαν τὸ τῆς ἡμέρας διάστημα, εἰς τὸ τῆς προσευχῆς αὐτῷ κατηνάλωτο γεώργιον· τοὺς μαργαρώδεις τῶν δακρύων ἐν θλίψει ἀπείρων πόνους, ἐν ἀγαλλιάσει δὲ θεριζόμενος, καιρῷ ἰδίῳ, ἀποστολικῶς εἰπεῖν, μὴ κωλυόμενος τῶν πόνων τὰ δράγματα. τῶν γὰρ ὄπισθεν ἐπιλανθανόμενος, καὶ τοῖς ἔμπροσθεν ὡσημέραι ἐπεκτεινόμενος, τῆς τοιαύτης θεοπρεποῦς ἐργασίας οὐκ ἐνεπίμπλατο.

Ὁ δὲ τῆς αὐτῆς μονῆς ἀληθὴς ποιμὴν,

τὰς τοῦ θεοστυγοῦς ἔθνους εἰδὼς κρυφιοπαγίστους καὶ λαθροπόρους ἀναζητήσεις, περὶ τῶν βδελυσσομένων τὸ αὐτῶν μυσαρὸν δόγμα, καὶ τῷ Χριστιανικῷ προσερχομένων κλήρῳ, ἐννοῶν μήπως τις τῶν κινδυνοθελῶν καὶ χαιρεκάκων τοῖς ἀθέοις αὐτῶν ὠσὶν ἐνηχήσῃ τὴν τοῦ τιμίου ἀνδρὸς ἐξ αὐτῶν ἀποστασίαν, καὶ κίνδυνον θανατηφόρον ἐπενέγκῃ τῇ αὐτοῦ μονῇ, ὡς Ἀγαρηνῶν βεβαπτικότα, ἐντολὴν αὐτῷ δέδωκεν, ὅπως μὴ ἐν ἑνὶ τόπῳ ἐργασίαν καὶ διαγωγὴν τοῦ μοναδικοῦ βίου τελεῖτο, ἀλλὰ κυκλικῶς περιοδεύειν τὰ ἀσκητήρια, ἔν τε ἅγιον

Paſtor, Deo inuiſæ gentes inſidioſas velut ex cuniculis indagines, ac occultè ſcrutandi artes, non neſciens, eum qui impuram illorum execrati ſectam, Chriſtianorum ſe partibus adiungerent, cogitans nè quis fortè creandis periculis præcipitis animi, malitiæque ac facinori ſtudens, impiorum auribus venerabilis Viri ab eis defectionem inſuſurraret, ſuoque inde Monaſterio lethale periculum arceſſeret, ceu qui Agarenum Chriſtiano ritu tinxiſſet; ſeriò iubet, vt non vno loco monaſticę vitæ exercitationē muniaque obiret, ſed alia ex aliis per circuitū Monaſteria

ne Saracenis facile innoteſceret.

obiret; ſanctum Moſem in Arabia, ſanctumq; Euthymium (miraculorum ſcilicet pr[illegible]m) nec non Veterem Lauram & Caſtellum: quandoque etiam Monaſterium Byzantinorum viſeret, moraſque in eis aliquas traheret; ac quæ his confinia atque vicina, vt par eſt, haberet.

Μωσέα ἐν Ἀραβίᾳ, καὶ τὸν ἅγιον Εὐθύμιον τὸν τῶν θαυμάτων λιμῶνα· τήν τε παλαιὰν Λαύραν καὶ τὸ Καστέλλιον· ἔσθ᾽ ὅτε καὶ τὴν μονὴν τῶν Βυζαντίων· καὶ τὰ ὡς εἰκὸς, ἐν τούτοις ὁμορεοῦντα τε καὶ παρομοροῦντα τῇ γειτνιάσει.

Sedula virtutum imitatio.

Eo vir venerabiliſſimus Bacchus, accepto mandato, alia ex aliis circum loca luſtrabat, citra omnem dubitationem adimplẽs, quæ præceptaacceperat, Excercitantiumque Angelica certamina videns, ac cuiuſq; virtutem rimando in animi penu colligens, ſibique aſciſcens, virtutum in ſe

Τοῦτο γοῦν τὸ κέλευσμα ὁ τιμιώτατος Βάκχος δεδεγμένος, περιῄει ἀδιστάκτως ἀποπεραίνων τὰ προσταχθέντα, καὶ τοὺς τῶν ἀσκητῶν ἀγγελικοὺς ἀγῶνας ὁρῶν, ἰχνηλατικῶς τε τὴν ἑκάστου ἀρετὴν ψυχολογῶν, καὶ τῷ οἰκείῳ νῷ ἐντιθέμενος, ἀρετῶν οἰκητήριον ἐν ἑαυτῷ

περιεσκεύασεν. καὶ καθάπερ οἱ τὰς μορφὰς ἐντυποῦντες τοῖς χρώμασιν, ἐπειδὰν ἐξ εἰκόνος εἰκόνα διαχαράττωσιν, ἀπερισπάστως τῇ ἀρχετύπῳ εἰκόνι ἐνατενίζουσιν, τὸν ἐκεῖθεν χαρακτῆρα πρὸς τὸ ἀνατυπώσασθαι πονήματα· οὕτω δὴ καὶ ὁ πολυάγαστος οὗτος ἀνήρ, πρὸς τοὺς τῶν μοναστῶν ἀγῶνας ἀεννάως καθορῶν, καὶ οἱονεὶ πρός τινας λογικὰς εἰκόνας καὶ ζωηρὰς ἑκάστοτε προσβλέπων, καὶ τὰς αὐτῶν ἀγαθοεργίας σφετερίζεσθαι μιμητικῶς ἐπεπόθει.

Ἐν τούτοις τοῖς κατορθώμασιν τοῦ ὁσίου βιοῦντος, ἡ τούτου γεννήτειρα,

domicilium extruxit. Ac sicut qui coloribus ac penicillo formas exprimũt, cum ex imagine exarando ducunt imaginem, in exemplar ac formam principem indiuulsè oculis intendunt, quo inde expressum laboratè characterem trahant; sic nimirum Vir quoque iste omni dignus admiratione, in Monachorum certamina iugiter animum attendens, velutque rationalia quædam ac vitalia simulacra contuens, eorum sibi honestatem ac virtutes imitationis cultu vendicare studebat. Simile.

Interim dum his virtutibus Vir sanctus vitam transigeret, illius parens

animique ipsius vera mater; velut arbor, vt ex fructu innotesceret comparatũ habens (casta scilicet Anna, quæ nouum obtulit Samuelem) Exaltationis sanctę Crucis stata solennia celebratura, Hierosolymam venit; optansque, quod filius Monachi institutum arripuerat, Monasteriumque in quo exercebatur, lustrare, ex iis quos in via obuios habebat, sedulò percontando, discere satagebat. Ac verò, voti compos effecta, manibus circum amplexando sublatis, ac velut pennarum remigio iactatis tentisque lacertis, sinu aptè complexa, insitique vi amoris

Matt. 7. 20.

Exaltationis Crucis Hierosolymis religio.

Matris congressus.

ἡ ὡς ἀληθῶς καὶ ψυ-
χῆς μήτηρ, ἥτις ὡς δέν-
δρον ἀπὸ τοῦ καρποῦ
διαγινώσκεσθαι πέφυ-
κεν· ἡ σώφρων Ἄννα ἡ
τὸν Σαμουὴλ προσε-
νηνοχυῖα τὸ δεύτερον,
εἰς Ἱεροσόλυμα ἀ-
φίκετο, τῆς ὑψώσεως
ἕνεκεν τοῦ τιμίου σταυροῦ,
καὶ τὴν τοῦ τέκνου μο- 7.
νὴν ἰδέσθαι ποθοῦσα,
ζητητικῶς φιλοπευστεῖν
τοῖς παρατυγχάνουσι
καθ' ὁδὸν ἐπεχείρει. καὶ
τοῦ ζητουμένου τυχοῦ-
σα, τὰς χεῖρας κυ-
κλοειδῶς πρὸς ὕψος
μετεωρίσασα, καὶ ὡς
πτέρυγας τοὺς πήχεις
ἐξακοντίσασα καὶ τοῦ-
τον ἡρμοσμένως ἐναγ-
καλισαμένη, καὶ τῇ
ἐνούσῃ αὐτῇ στοργῇ ἀδια-

σπάστως προσκολληθεῖσα, ἀμέτρως τοῦτον κατησπάζετο, δακρύων ῥοαῖς τὸ πανάγιον ἐκεῖνο καταρδεύουσα πρόσωπον. οἶδεν γάρ, οἶδεν ὥσπερ ἐν ταῖς τῶν λυπηρῶν συμφοραῖς, οὕτω καὶ ἐν ταῖς τῶν χαροποιῶν ἐπιτυχίαις, προχεῖσθαι τῶν βλεφάρων τὰ δάκρυα.

Ὀψὲ γοῦν ποτε τοῦ τένοντος τοῦ ὁσίου τὰς αὐτῆς ἀποσπάσασα χεῖρας καὶ εἰς ἑαυτὴν ἑλκύσασα, ἀνερευνᾶσθαι πευστικῶς τὸν ὅσιον ἔσπευδεν, τῆς τε ἀναστροφῆς καὶ διαγωγῆς, καὶ τῆς τοῦ ἁγίου βαπτίσματος χρίσεως, καὶ τοῦ μοναχικοῦ σχήματος τὴν ἀμφίασιν, ὅπως καὶ παρά τινος,

indiuulsè hærens, defluentibus lacrymis sanctissimum vultum illum largè rigans, sine modo oscula figebat. Sic enim procliue est, vt sicut tristitium aduersis casibus, sic & lætorum fausto exitu ac occursu, lacrymarum riui palpebris erumpant perfluantque. Sent.

Vix ergo tandem amotis à Sancti collo lacertis, ad seque retractis, curiosè omnique diligentia ex illo sciscitabatur, quæ disciplina & conuersatio; vt sancti Baptismatis concessa vnctio, indultaque Monastici habitus gestatio; quomodo scilicet, quo porrigente, quando

denique induisset, gliscens discere. Solent enim materna viscera, cùm post longam absentiam coram filiis congredi datur, cuncta minutim scrutari, quæ illi per vitam egerint, quæque illis acciderint. Is porro insita lenitate, cuncta sigillatim narrauit; postremoque perorans istud adiecit, Tuis, mater fretus precibus, iisque faustè directus cuncta ex animi voto, nullo impedimento impleui.

Sent.

Longius itaque mutuo producto colloquio, bonorumque omnium largitori Deo persolutis laudibus; ad hæcque cùm vale dicendo alter alterum essent osculati,

καὶ πότε γλιχόμενον μαθεῖν. εἰώθει γὰρ τὰ τῶν μητέρων σπλάγχνα ἐξ ἀποικίας τοῖς τέκνοις περιτυχόντα, κατὰ μικρὸν ἅπαντα τὰ συμβεβηκότα τῷ παιδὶ διερευνᾶσθαι. ὁ δὲ τῇ ἑαυτοῦ ἠπιότητι, ἅπαντα καταμέρος διεξιὼν, ἀκροτελεύτιον πρὸς τὸ ἔπος ἐπειπὼν, Εὐχαῖς σου ὦ μῆτερ ὁδηγούμενος καὶ κατευοδούμενος, πᾶν ὁτιοῦν τῶν ἐν ἐμοὶ ἐρασμίων ἀνεμποδίστως τετελείωκα.

Τετυχηκότες τοίνυν ἑκάτεροι πλατυτέρας τῆς πρὸς ἀλλήλων ὁμιλίας, καὶ αἶνον τῷ χορηγῷ τῶν ὅλων ἀμειψάμενοι· ἔτι τε καὶ συντακτήριον ἀλλήλοις κατασπασάμενοι,

ἐξίεσαν ἄμφω τῆς κέλλης· καὶ βραχύ τι τῇ τεκούσῃ συνοδοιπορήσας, καὶ παρ' αὐτῆς στηριγμάτων διδασκαλίας ἐμφορηθεὶς, ὀπισθόρμητος παλινοστήσας ἐν τῷ οἰκείῳ οἰκίσκῳ ἤσκει.

Ἡ δὲ τούτου πανόλβιος ἐν ἀρεταῖς μήτηρ, ἡ τιμία καὶ αἰδέσιμος· ἡ τῆς Ἀβραμιαίας ὁλοκαρπώσεως οὐ πρὸς πολὺ δευτερεύουσα, τὸ Μαϊουμᾶν καταλαβοῦσα, ἅπαντα δῆλα πεποίηκεν τοῖς ἰδίοις τέκνοις, τὰ εἰς τὸν ὅσιον ὁραθέντα αὐτῇ· καὶ ὅτι λίαν ἀλγεῖ, καὶ ἀνιᾶται περὶ τῆς ἐσχάτης ὑμῶν κακοδοξίας τῷ πένθει τρυχόμενος.

ambo è cella exierunt: breuique ille itinere matrem comitatus, atque ab ea documentis firmando propoſito compoſitis abundè donatus, in ſuam reuerſus cellam, Monachi ritu in ea ſedulò exercebat.

Eius autem, quo fulgebat virtutum cultu, beatiſſima parens, venerabilis caſtaque mater; cuius non multum ſecundæ partes ab Abrami laudato holocauſto, Maiumam petens, quæ in Sancto conſpexerat, liberis manifeſta fecit; plurimum eum dolere profeſſa, animoque diſcruciari, luctu contabeſcentem, qua illi extrema erroris prauitate tenebantur.

Matris opera cõuertendis liberis.

Illi autem, quippe tali procreati parente; qui videlicet piç religiosæque illius stirpis semper virentes surculi essent; auditis Viri sancti rebus narratis, diuinique amoris feruore concepto, venditis quæ Maiumæ prædia habebant, patriaque excedentes eaque sponte exorres facti, ac in alienam regionem pariter commigrantes, ad sanctum Baptisma vnà cum vxoribus atque liberis propensè accesserunt. Nimirum magis eligentes, vt Propheticis verbis vtar, abiecti esse in domo Dei, quàm habitare in tabernaculis peccatorum. Vnus enimvero sep-

Fratrum sponte transmigratio, vt fiant Christiani.

Psal. 83. 11

Οἱ δ', ὡς ἐκ τοιαύτης μητρὸς τυγχάνοντες, οἱ τῆς εὐσεβοῦς ἀειθαλεῖς ὄρπηκες, τὰς τοῦ ἁγίου δηλώσεις ἐνηχηθέντες, καὶ τῇ φιλοθεΐᾳ ὑπερζέσαντες, τὰ ἐνόντα αὐτοῖς κτήματα ἐν τῷ Μαϊουμᾷ πεπρακότες, καὶ μετανάσται τῆς ἐνεγκαμένης γεγονότες, ὁμαδὸν εἰς ἀλλοδαπὴν χώραν ἀπάραντες, τῷ ἁγίῳ προσῆλθον βαπτίσματι σὺν γυναιξὶ καὶ τέκνοις· ἐκλεξάμενοι, προφητικῶς εἰπεῖν, παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μᾶλλον, ἢ οἰκεῖν ἐν σκηνώμασιν ἁμαρτωλῶν. εἷς δέ τις τοῦ ἀριθμοῦ τῶν ἑπτὰ

συνεζευ-

συνεζευγμένος ἦν γυναικὶ ἀκαμπεῖ καὶ θηριώδει, καὶ ἀμειλίκτῳ, καὶ οἵαν τὴν Ἰεζάβελ ἀκούομεν, καὶ τὴν ἀνδροφόνον Δαλιδὰν, μὴ συναιρεθούσῃ αὐτῷ ἐπὶ τῇ τοῦ χριστιανισμοῦ πίστει· ἀλλ᾽ ἐπέμενεν τῇ βεβήλῳ καὶ ἐναγεῖ θρησκείᾳ.

Οἱ δὲ τούτοις διαφέροντες κηδεσταὶ καὶ ἀγχιστέρμονες, ὅ τε τῆς μεταναστάσεως καὶ μετοικεσίας μεμαθηκότες, καὶ ὅτι τὴν τῶν Χριστιανῶν ἑλόμενοι πίστιν ἀπῄεσαν τῆς τῆδε, εἰς ἄμετρον ἐξαφθέντες θυμὸν, σκαιωρίαν δρῶσιν τοιάνδε. εἰσκηρυξάμενοι γὰρ ἕνα τῶν ἐχθίστων ἀποστα-

tenorum fratrum, inflexi animi, ferique ac implacabilis vxori cohæſerat; qualem ſcilicet Iezabelem, virique parricidã Dalidam audimus; quæ nimirũ minimè ſe adduci pateretur vt Chriſtianæ fidei aſſenſum præberet, ſed in profana ſuperſtitione ſceleſtoq; cultu vna ipſa obſtinatior perſeueraret.

Qui autem hos ſoceri atq; affines contingebant, explorata fuga ac migratione, compertoque quod Chriſtianam fidem amplexi eſſent, eos patria exceſſiſſe, immenſa incenſi ira, tale quid malo dolo comminiſcũtur ac ſtruunt. Deſertorum omnium tota regione

Baccho indecreatæ inſidiæ.

ſceleſtiſſimum acceršunt, alterum Iudam ac Doëc Syrum & Idumæum, mentitoque in Monaſteriis Chriſtiano ritu conuerſatum, mittunt, clanculumque dolo ſciſcitatum ac perueſtigatum, num tandem in ſanctiſſimum Bacchum, quem illi Dachac vocent, inciderit; iuſta ei pecuniæ vi, iniquæ cædis mercede, conſtituta; aliâque in poſterum pacta, modò quod oppidò cupiant, perfecerit. O Iudaicum conſilium conatumque! Adhuc argentei ſeu pecunia; proditorque Iudas laquei hæres, in vicis plateiſque ambulans, vafre doloque, cun-

τῶν πονηρόπαιζον παρὰ πᾶσαν τὴν γῆν, δεύτερον Ἰούδαν, καὶ Δωὴκ τὸν Σύρον καὶ Ἰδουμαῖον, πέπομφασιν αὐτὸν ὡς δῆθεν χριστιανιζόμενον ἀναστρέφεσθαι ἐν τοῖς ἀσκητηρίοις· καὶ λαθροπόρως κρυφιοπτευτεῖν καὶ ἐρευνᾶν, εἴπως εὕροι τὸν ὁσιώτατον Βάκχον, τὸν παρ' αὐτοῖς Δαχὰκ ὀνομαζόμενον: δεδωκότες αὐτῷ ἀργύρια ἱκανὰ, εἰς μισθὸν μιαιφονίας· καὶ ἕτερα συνθέμενοι παρέχειν, εἴπερ ὃ ζητοῦσιν περαιώσῃ καταθύμιον. ὦ τῆς Ἰουδαϊκῆς ἐγχειρήσεως· πάλιν ἀργύρια καὶ προδότης Ἰούδας, ὁ τῆς ἀγχόνης κληρονόμος, ἐν ταῖς ἀγυιαῖς καὶ πλατείαις περιπατῶν, περιεσκόπει

ὑπούλως, καὶ δολίως συναναμιγνύμενος τοῖς πᾶσιν.

Καὶ δὴ ὁ τοῦ Θεοῦ δοῦλος Βάκχος εἰσήει ὡς ἐξ ἀποστολῆς τινος δεξόμενος εἰς τὴν ἁγίαν Ἀνάστασιν. ὁ δὲ κακεντρεχὴς καὶ σκολιὸς ἀνὴρ τὴν τοῦ ὁσίου θεασάμενος παρουσίαν, ὡς θὴρ ἀνήμερος ἐκ τινος λόχμης λεοντοειδῶς εἰσπηδήσας, ἐδράξατο τῆς ἐπωμίδος αὐτοῦ· καὶ τῇ πρὸς αὐτὸν ὀργίλῳ ἀντιπαρακλάσει τὸν ὅσιον τοῖς ὄπισθεν ἀναποδίσας, διαβομβήσας ἀπηχεῖν μεγαλοφώνως ἤρξατο τοῖς παροῦσιν Ἀγαρηνοῖς, ὡς ὅτι ὁμόφυλος ἡμῖν ὤν, βδελυξάμενος τὴν καθ' ἡμᾶς πίστιν, Χριστιανὸς γέγονεν· καὶ

ctis se commiscens, exploratorem agit.

Denique Dei seruus Bacchus, in sanctam Resurrectionem, sic fortè missus iussusque, oraturus intrauerat: vir autem improbus prauusque conspecto Sancti aduentu ac præsentia, velut è saltu immitis bestia leonis ritu insiliens, palliolo humerali tenuit; Sanctumque irata repercussione ad seque trahendo pedem referre cogens, sublato strepitu altoq; clamore, his qui aderant, Agarenis occinere cœpit, Hic, qui noster tribulis sit, nostram execratus fidem, Christianus effectus est: Enque

Captus Bacchus ad S. Resurrectionē orans.

etiam Monachi indutus habitu est. Psal 5.11. & 13.3. Verè sepulchrum patens illius guttur.

Tum qui circum vndique, impiæ illius sectæ Symmystæ, fusi erant, captum virum Sanctum vnà cum scelerato, adducunt ad Ameram. Is, viri iusti negotio cognito, in tutissimo carcere includi iubet, postridieque, ad eum Ab Amera transmissus ad Prætorem. qui Imperatoris summique Ducis partes apud eos sustinere videretur, totam accusationem per Epistolam, in hæc verba perscripsit. *Adolescentior quidam, à nostra desertor fide, ad Christianorum, quos vocant, fallacem errorem transiuit, alios*

ἰδοὺ καὶ μοναδικὸν ἐνδιδύσκεται ἔνδυμα. ὄντως τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτοῦ.

Τότε οἱ κύκλῳ περιεστοιχιζόμενοι συμμύσται τῆς ἀθέου αὐτοῦ αἱρέσεως τυγχάνοντες, λαβόμενοι τὸν ὅσιον ἅμα τῷ ἀνοσίῳ, ἀπήγαγον πρὸς τὸν Ἀμηρᾶν. ὁ δὲ τὰ περὶ τοῦ δικαίου γνοὺς, καθεῖρξεν αὐτὸν ἐν ἀσφαλεστάτῃ φρουρᾷ, καὶ δῆλα τὰ κατ' αὐτὸν τῇ ἑξῆς πεποίηκεν τῷ παρ' αὐτοῖς νομιζομένῳ στρατηγῷ, δι' ἐπιστολῆς ἐχούσης οὕτω. Νεώτερός τις τῆς ἡμῶν ἀποστὰς πίστεως, τῇ ἠπατημένῃ προσερρύη τῶν λεγομένων Χριστιανῶν πλάνῃ, συνηχώσας μεθ' ἑαυτοῦ

καὶ ἑτέρους πλείστους· ὃν κρατήσας, ἐθέμην εἰς φυλακήν. κελεύσει οὖν τὸ ὑμέτερον μέγεθος ὀκυτέρως τὰ ἐνταῦθα καταλαβεῖν, ὅπως τὸ τοιοῦτον κεφάλαιον ἐμμελέστατα ἐρευνηθείη, πρὸς τὸ μὴ καὶ ἑτέρους τὸ αὐτὸ πρᾶξαι. ἔρρωσο. λαβόμενοι δὲ οἱ τῆς ἀσεβείας ὑπηρέται τὰ τοῦ παρανόμου
8. γράμματα, καὶ οὐ ἐν τῇ πόλει φωσάτῳ γενόμενοι, ἐπέδωκαν τὴν ἐπιστολὴν τῷ στρατηγῷ. ὁ δὲ, διεὶς τὸ πυκτίον, καὶ τὴν ἐγκειμένην δύναμιν γνοὺς, ἐκέλευσεν πρὸς αὐτὸν παραχθῆναι τὸν μάρτυρα.

Ἐγκεκλεισμένου δὲ τοῦ ἁγίου ἐν τῇ φρουρᾷ, ἀνὴρ

etiam plurimos vnà secum trahens. Eum à me comprehensum, misi in carcerem. Rogo itaque Magnitudinem Vestram vt huc citius veniatis, quò negotium eiusmodi diligentissimè exquiratur, ne & alii istud idem factitarint, Vale. Accepta, impietatis ministri, nefarij viri Epistola, in ciuitatem Fossatum, quo scilicet illi castra posita erant, venientes, in manus tradidere. Pellecta Prætor Epistola, perspectoque quid illa vellet, ad se Martyrem adduci iussit.

In castra, ac vbi Prætor præsidebat.

Interim verò dum Sanctus in carcere inclusus te-

neretur, vir quidam religiosus, visendi causa crebrius ingrediebatur, inferensque ad cibos necessaria, ad martyrii stadium animabat. Is, frequens in hæc obsecrabat verba, Pater Bacche, preces funde pro vniuerso mundo, proque Ciuitate nostra Hierusalem, nec non pro Vrbe Augusta, cunctisque in ea Christianis. Ad hæc etiam pro meipso, vt illæsi ab hostium laqueis, amaroque quod imminet terretque examine, seruemur. Ad quem sanctus Martyr, Te verò decet, vnà cum sanctæ Ciuitatis Patribus, pro mea orare indignitate, vt det mi-

Pij viri solatia; precumque suffragia mutua.

τις θεοφιλὴς συχνοτέρως εἰσῄει ἐπισκεπτόμενος αὐτὸν, καὶ τὰ πρὸς τὴν ἀναγκαίαν τῶν ἐδωδίμων χρείαν ἐπικομίζων, καὶ ἐπαλείφων αὐτὸν πρὸς τὸ τοῦ μαρτυρίου στάδιον· ὃς καὶ ἐλιπάρει αὐτὸν πυκνοτέρως, λέγων, Πάτερ Βάκχε, εὖξαι ὑπὲρ τοῦ κόσμου παντὸς, καὶ ὑπὲρ τῆς πόλεως ἡμῶν Ἱερουσαλὴμ, καὶ τῆς βασιλευούσης πόλεως, καὶ τῶν ἐκεῖ Χριστιανῶν· ἔτι τε καὶ ὑπὲρ ἐμοῦ αὐτοῦ, ὅπως τῶν τοῦ ἐχθροῦ παγίδων ἀλώβητοι τηρηθείημεν, ἐκ τῆς ἐπηγγελμένης ἀποτύχωμεν πικρᾶς ἐτάσεως. ὁ δὲ ἅγιος μάρτυς ἔφη, Σὲ δέον ἐστὶν ἅμα τοῖς τῆς ἁγίας πόλεως πατράσιν, ὑπὲρ τῆς ἐμῆς ἀναξιότητος εὔξασθαι, ὅπως δῴη

μοι Κύριος τελειῶσαι τὸν δρόμον, καὶ τοῦ πεποθημένου τυχεῖν μαρτυρίου. ἀσπασάμενος οὖν αὐτὸν ὁ θεοσεβὴς οὗτος ἀνήρ, καὶ εὐλογηθεὶς παρ' αὐτοῦ, ἐξῆλθε τῆς φρουρᾶς.

Τῇ δὲ ἑξῆς ὁ Ἀμηρᾶς Ἱεροσολύμων, τὸν μάρτυρα τῆς φρουρᾶς ἐξαγαγὼν, τὰς χεῖρας τε σὺν τῷ τραχήλῳ τῷ ξύλῳ ἀσφαλισάμενος, παρέδωκεν αὐτὸν ἐν τῇ πόλει φοσάτῳ, κατὰ τὸ προσταχθὲν αὐτῷ ὑπὸ τοῦ στρατηγοῦ. καὶ δὴ ὁ τοῦ Θεοῦ μάρτυς ἅμα τοῖς συνοῦσιν αὐτῷ, ἀπήρξατο τῆς ὁδοῦ. καὶ δὴ τὴν ἐπὶ τὸ πρανὲς πορείαν ποιούμενος συντόμως, καὶ μέλλων τὴν γλυκυτάτην ὅρασιν τῆς Ἱερο-

hi Dominus consummare cursum, ac cuius teneor desiderio, martyrij lauream adipisci. Osculo itaque salutato Vir religiosus, ab eoque benedictione impartitus, è carcere exiuit.

In crastinum Hierosolymorum Ameras, eductum è carcere Martyrem, manusque ac collo ligno boiisque constrictum, in Vrbem Fossatum tradit, pro eo ac illi à Prætore fuerat imperatum. Dei itaque Martyr, cum illis qui secum erant, iter auspicatur: Iamque breui, decliui via proficiscens, ac cùm mox futurum esset, alto deuexoque solo, vt dulcissimo Hieroso-

Deuota Hierosolymorũ Vrbis valedictoria salutatio.

lymorum Vrbis aspectu prohiberetur, tantisper festinantem gressum inhibens, verso in alterum humerum capite, obliquo obtutu animaduersa sancta Ciuitate, in hunc ferè modum allocutus est.

Psal. 47. 3. & 124. 2.

Hierusalem, Hierusalem ciuitas Regis magni; in cuius circuitu montes, & Dominus in circuitu populi sui, tranquilla stabiliaris à modò, & vsque in sæculum, potentissima Dei manu protegente. In sæculum & sæculum, & vltra scribantur tui partus filij in cœlesti Hierusalem,

Heb. 11. 2.

cuius artifex & conditor Deus. Mihi quoque Domine, tuæ misericordiæ por-

σαλὴμ κωλύεσθαι τῇ βαθυτάτῃ τῆς ὁδοῦ καταφορείᾳ, μικρόν τι τὸ σπουδαῖον τῆς πορείας ἐπισχὼν, τὴν κάραν πρὸς ἕνα τῶν ὤμων διαστρέψας, πλαγίῳ τῷ ὄμματι τὴν Ἱερουσαλὴμ ἑωρακὼς, ὧδέ πως ἔφη.

Ἱερουσαλὴμ, Ἱερουσαλὴμ ἡ πόλις τοῦ βασιλέως τοῦ μεγάλου, ἧς ὄρη κύκλῳ, καὶ Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ, στηριχθείης ἀτάραχος ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος, χειρὶ Θεοῦ πανδυναστάτῃ σκεπομένη· αἰῶνα καὶ αἰῶνα καὶ ἔτι, ἐγγραφείη τὰ τέκνα τῆς σῆς λοχείας εἰς τὴν ἄνω Ἱερουσαλὴμ, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός· ἄνοιξον κἀμοὶ, ὦ δέσποτα, τὰς τοῦ ἐλέους

σου πύλας, καὶ ἐν τῇ ἄνω Ἱερουσαλὴμ εἰσάγαγε, τελέσαντί μου τὸν δρόμον ἐν ᾧ δὴ τῷ ἐγχειρήματι. καὶ ἔτι τῆς ὑμνολογικῆς ἀκροτελευταίου ῥήσεως οὔσης ἐν τοῖς ὁσίοις αὐτοῦ χείλεσιν, λοξῷ δὲ ὄμματι τῇ βραχυτάτῃ ἐπιστροφῇ τὴν κάραν μικρὸν κλίνας, τὸ συντακτήριον καὶ τελευταῖον ἀπένειμεν αὐτῇ σέβας, εἰπών, Σώζου Ἱερουσαλὴμ τὸ τοῦ Θεοῦ κατοικητήριον· καὶ σταυροειδῶς τὴν κεφαλὴν κεκινηκώς, εἴχετο τῆς ὁδοῦ χαίρων καὶ ἀγαλλιώμενος.

Οἱ δὲ τοῦ μύσους ὑπηρέται, ἐν τῇ πόλει Φωσάτῳ γενόμενοι, κατέκλεισαν αὐτὸν ἐν ᾧ δεσμ-

tis aperi, & in cœleſtem introduc Hieruſalem, hoc in certamine ac aggreſſione meum curſum conſummans. Cumque adhuc extrema cantici laudis verba in ſanctis eius labris eſſent, obliquo oculo parumper conuerſus, nonnihilque caput inclinans, ſupremam demum ſalutem ac venerationem in hæc ei verba, impendit, Vale Hieruſalem, habitaculum Dei; inque formam crucis circunducto capite, gaudens animo atque exultans, iter proſequebatur.

Sceleris porro miniſtri, peracto ad Foſſatum Vrbem itinere, in carcere includentes, im-

Martyris cercer ac ludibria.

mũdis cædemq; ſpirantibus hominibus ſeruandum tradiderunt: qui & continuè iniuriis ſanniſque laceſſentes, venerandam eius faciem ſputis oblinebant, atque à deteſtanda eorum ſecta deſertorem, palam vocitabant. In quibus Martyr, Magiſtrum ſuum imitatus, eiuſque ſimilitudine, tacebat.

Poſt paucos autem dies, qui Prætoris illis munere præerat, quemque Ameram vocant, accito iudice in Prætorium, conſueto aſtante ſatellitio, Sanctum adduci iuſſit. Ac verò adductus, læto vultu proceſſit; adhucque veſtibulum

μωτηρείῳ, ἀκαθάρτοις καὶ φονικοῖς ἀνδράσιν αὐτὸν παρενείραντες· οἱ, καὶ ἀνενδότως ἐχλεύαζον αὐτῷ, πτυέλῳ δὲ σεβάσμιον αὐτοῦ καταχραίνοντες πρόσωπον, ἀποστάτην αὐτῶν δημηγοροῦντες τῆς φλυκταίας αὐτῶν αἱρέσεως. ὁ δὲ, τῷ ἑαυτοῦ διδασκάλῳ μιμητικῶς ἐξομοιούμενος, ἐσιώπα.

Μετὰ δὲ τινας ἡμέρας ὁ Στρατηγὸς ὁ περὶ αὐτοῖς 9, ὁ καὶ Αμηρᾶς ὀνομαζόμενος, τὸν δικαστὴν παρακαλεσάμενος ἐν τῷ πραιτωρείῳ, τῆς συνήθους τάξεως παρεστώσης, τὸν ἅγιον προσαχθῆναι ἐκέλευσεν. καὶ δὴ προσαχθεὶς ὁ ἅγιος, φαιδρὸς τῷ προσώπῳ· καὶ 9.

ἐπὶ τῆς περιαυλῆς ἐπιβάς, τὰς χεῖρας εἰς οὐρανὸν ἀνατείνας, ἐβόησεν λέγων, Ὁ Θεὸς τῶν Χριστιανῶν βοήθει μοι· καὶ στὰς ἔμπροσθεν τῶν δικαστῶν, τῇδε κἀκεῖσε τὰ ἐπισυνηγμένα πλήθη περιεσκόπει. ἦν γὰρ θεάσασθαι ὁμαδὸν πλήθη συνηθροισμένα, Ἀγαρηνῶν, Σαμαριτῶν, Ἰουδαίων καὶ Χριστιανῶν, κυκλόθεν περιεστοιχιζόμενα, καὶ τὴν τῶν δρωμένων ὄψιν ἐμμελῶς ὀπτευόμενα. οἱ μὲν τῶν Ἰουδαίων καὶ Σαμαρειτῶν καὶ Ἀγαρηνῶν, ἐφηδῦναι οἰόμενοι, ἐλπίζοντες ἀφηνιάσαι τὸν διὰ τῆς τιμωρίας τὸν μάρτυρα, καὶ πρὸς τὴν πατρῴαν παλινοστῆσαι θρησκείαν· καὶ διὰ τούτου γέλωτα

ascendens, sublatis in cœlum manibus, clamauit, dicens, Deus Christianorum adiuua me; stansque coram Iudicibus, hinc inde constipatam plebem contuebatur. Erat enim videre simul glomeratam multitudinem Agarenorum, Samaritarum, Iudæorum ac Christianorum, iudicij loco vndique in orbem circumfusam, ac spectaculi auidam. Ac quidem Iudæi, Samaritæ & Agareni affatim se oblectandos gaudioque perfundendos putabant; ea spe freti, fore vt Martyr metu deterritus, ad patriam rediret superstitionem; Christiana inde religio-

Martyrij agonis theatrũ.

ne ludibrium probrumque referente. Orthodoxorum verò Chriſtianorum religioſum agmen, gens ſancta, Chriſto redemptus grex, incerti metu euentus & anxietate, cernui ſtabant, verſiſque in terram vultibus; mœſti ſcilicet pallenteſque, truſis oculis, geniſque lacrymarum imbre offuſis: quod nempe timerent, ne fortè Martyr vitæ amore mortis pertæſus, à propoſito dimoueretur, patriiſque innecteretur caſſibus. Erat enim terroris plenum, pro tanta arena noui Athletæ ſpectaculũ: Verùm
Pſal. 29.6 veſpere demoratus eſt fletus; breuique poſt illuxit lætitia.

αὐτοῖς τὰ Χριστιανῶν ἀποδεῖξαι. ὁ δὲ τῶν ὀρθοδόξων Χριστιανῶν φιλόθεος ἐσμὸς, τὸ ἅγιον ἔθνος καὶ Χριστώνητον ποίμνιον, δέει καὶ ἀγωνίᾳ συνείχοντο, κεκυφότες, καὶ πρὸς γῆν νενευκότες· ἀθυμίᾳ τε συνεχόμενοι, καὶ ὠχρότητι σώματος τὰς ὄψεις περιωθούμενοι, καὶ δάκρυσιν τὰς παρειὰς καταρδεύοντες· δεδιότες, μήπως τὸ φιλόζωον ἐπισπασάμενος ὁ μάρτυς, τὸ θανεῖν ἀπωσάμενος ἀναχαιτίσῃ, καὶ ταῖς πατρῴαις περιπτῇ παγαῖς. ἔκπληκτον γὰρ ἦν, τὸν νεοφανῆ ἀθλητὴν καλῳδέεσθαι. ἀλλ' ἑσπέρας ηὐλίσθη κλαυθμὸς, καὶ μετ' οὐ πολὺ γέγονεν ἀγαλλίασις.

Ἔφη οὖν δικαστὴς τῷ ἁγίῳ, Τίς σε ἀλητήριος καὶ ψυχοφθόρος ἐξαπατήσας, πέπεικεν τῆς πατρῴας ἀπορραγῆναι πίστεως, καὶ τῇ τῶν Χριστιανῶν μεταβῆναι ἀπάτῃ. ὁ δὲ τοῦ Θεοῦ θεράπων πάντῃ πρὸς τὴν αὐτοῦ πεῦσιν ἀλλοτριούμενος, καὶ τῇ φρενοβλαβεῖ αὐτοῦ φλυαρίᾳ μὴ ἀποκρινάμενος, φησίν, Ἀλληλούϊα, ἀλληλούϊα· δόξα σοι ὁ Θεός. Θεῷ γὰρ εὐχαριστίας καὶ ὑμνῳδίας ἀνέμελπεν, ἢ τοῦτο πρὸς πεῦσιν ἀνταπεδίδου. μὴ εἰδὼς οὖν ὁ μιαιφόνος, ὅ, τι ὁ μάρτυς ἀπεφήνατο, διὰ τὸ ἀμύητον εἶναι Ἑλληνικῆς γλώσσης, ἑτέροις τὴν αὐτοῦ σαφηνέστερον λέγειν

In hæc itaque verba Iudex infit Sancto, Quis te, miserabilis animorumque lues, seductum, à patria suasit abiungi fide, atque ad Christianorum errorem transire? At Dei seruus eius prorsus despecta interrogatione, nullaque dementis illius nugas dignatus responsione, *Alleluia, Alleluia; Gloria tibi Deus*, aiebat. Deo enim gratiarum actionem ac laudis canticum concinebat, aut interroganti, istud responsi dabat. Nesciens itaque cruentus Iudex quid Martyr locutus esset, quod linguæ Græcæ rudis erat, aliis verbis mentem explicare

Iudicis interrogatio, Sanctiq; responsio.

iubet. Alij, cum blaſphemare dicebant. Rurſumque Ameras fortiſſimo Martyri, Chriſtianorum ſtulto relicto errore, ad fidem paterna traditione tibi ſancitam reuertere, ingenteſque à nobis honores conſecutus, haud vitam commutabis immatura morte. Ad quæ intrepidus Chriſti miles, ſubmiſsè, *Alleluia, Alleluia; Gloria tibi Deus*. Tum ille tertiò, Vt quid Deus, animi tui ſenſus obdurauit, ſeductumque in perditionis barathrum detruſit? Verùm Martyr prioribus conſtans verbis inſiſtebat.

Intelligens itaque Iudex, perſe-

προσεκελεύσατο. οἱ δέ, φησίν, Βλασφημεῖ οὗτος. πάλιν τε ὁ Ἀμηρᾶς, τῷ γενναίῳ μάρτυρι ἔφη, Καταλείψας τὴν ματαίαν τῶν Χριστιανῶν πλάνην, ἐπάνελθε τῇ πατροπαραδότῳ σοὶ νομοθετηθείσῃ πίστει, καὶ τεύξῃ παρ' ἡμῶν τιμῆς πλείστης, καὶ μὴ θανάτῳ ἀώρῳ τὴν ζωὴν διαμείψῃς. ὁ δὲ ἀκατάπληκτος τοῦ Χριστοῦ στρατιώτης, ἠρέμα φησίν, Ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεός. ἔφη δὲ αὐτῷ ἐκεῖνος, Ἵνα τί ἐπώρωσεν ὁ Θεὸς τὰ τῆς ψυχῆς σου αἰσθητήρια, καὶ φενακίσας εἰς βάραθρον ἀπωλείας κατήγαγεν. ὁ δὲ τοῖς προτέροις ἐνέκειτο ῥήμασιν.

Γνοὺς δὲ τὸ ἐπίμονον καὶ

ἀμετάθετον τῆς τοῦ μάρτυρος παῤῥησίας ὁ δικαστής, ἔφη, Ἐπείπερ λίθου δίκην πεπώρωσαι, καὶ τοῖς ἡμετέροις οὐχ ὑπήκεις θεσπίσμασιν, ψιλῷ λόγῳ μόνον φῆσον, Οὐ πιστεύω ὡς πιστεύουσιν οἱ Χριστιανοί, καὶ ἀπολυθήσῃ. ὁ δὲ ἀμετάθετος τοῦ Θεοῦ δοῦλος, τὸ περιφιλημένον αὐτῷ τῶν Χριστιανῶν ἀκουσθεὶς ὄνομα, ἵνα αὐτολέκτως ἐξείποιμι ἐγὼ τὰ τοῦ ἁγίου ῥήματα, δακτυλοδεικτήσας καὶ τὴν χεῖρα προτεινάμενος, διαπρυσίως ἔφη, Οὐχ ὡς σὺ λέγεις ἐγὼ λέγω, ἀλλὰ τοὐναντίον· Πιστεύω ὡς πιστεύουσιν οἱ Χριστιανοί.

Ἑωρακὼς οὖν, ὅ, τε

uerantem Martyris ac immobilem loquendi fiduciam, ait, Quandoquidem ſaxi in morem obriguiſti, nec noſtris iuſſis quicquam morem geris, dic vel nudo verbo, Non ſic credo vt credunt Chriſtiani, ac liber abire ſinêris. Verùm immobilis Dei ſeruus, vbi ſemel chariſſimum Chriſtianorum nomen audiuit, quò ipſa eius verba voceſque referam, quaſi digito monſtrans, protenſaque manu, *Non vt tu dicis*, inquit, *dico; ſecus verò, Sicut credunt Chriſtiani, credo.*

Confeſſionis fiducia ac conſtantia.

Viſo itaque Iu-

dex Amerasq; constanti inflexoque Martyris animo, spiculatori vnà ac reliquis ministris tradunt, in hæc verba prolata sententia. Idoneum in locum educto, nisi decretis nostris obtemperauerit moremque gesserit, gladio caput amputate. Tunc deicida Iudæorum plebs, cuius occlusæ aures ac cor obduratum, vnà cum præsentibus Samaritis reliquaque turba, qua ceciderant victoria, probrum non ferentes, sublato clamore, Haud dignus iste, aiebant, qui gladio vitam morte commutet, sed igni, ferriq; tunsionibus ac verberibus, ma-

Sanctus capitis damnatus.

δικαστὴς καὶ ὁ Ἀμηρᾶς τὸ τοῦ μάρτυρος σταθηρὸν καὶ ἀκαμπὲς, παραδιδόασιν αὐτὸν τῷ σπεκουλάτωρι ἅμα τοῖς λοιποῖς ὑπηρέταις, φήσαντες οὕτως, Ἐξαγαγόντες τοῦτον ἐν ἐπιτηδείῳ τόπῳ, εἰ μὴ πειθείη τοῖς ἡμετέροις θεσπίσμασιν, καὶ ὑποκύψῃ, ἀφέλετε αὐτοῦ ξίφει τὴν κεφαλήν. τότε τὸ θεοκτόνον τῶν Ἰουδαίων ἔθνος, τὸ βεβυσμένον καὶ πεπηρωμένον, ἅμα τοῖς συνοῦσι Σαμαρείταις, καὶ λοιποῖς, οὐ φέροντες τὴν αἰσχύνην τῆς ἥττης, ἐπεβόων ἐπὶ τῷ ἁγίῳ, λέγοντες, Ὅτι οὐκ ἄξιός ἐστι τῷ διὰ ξίφους θανάτῳ μεταλλάξασθαι τὸν τῆδε βίον, ἀλλὰ πυρὶ καὶ σιδήροις καὶ μειζοτέραις

κατὰ βραχὺ τεθνάναι. τὸ δὲ τῶν Ἀγαρηνῶν πλῆθος, οἱ μὲν θωπευτικοῖς ῥήμασιν ἐκολάκευον, μεταπεισθῆναι αὐτὸν λιπαροῦντες· οἱ δὲ καὶ ἐπιβαίνοντες κατ' αὐτοῦ ἐθυμαίνοντο, ἀποστάτην καὶ ἀλλότριον αὐτὸν καθυβρίζοντες, ἐκκόπτειν τὴν προθυμίαν πειρώμενοι διὰ τῆς ἀκοῆς.

Ὁ δὲ ἅγιος τοῦ Χριστοῦ μάρτυς πρὸς μηδὲν τὸ κοινὸν συλλογιζόμενος, εἴχετο τῆς τελευταίας πορείας· καὶ δὴ φθάσας τὸν τεταγμένον τῆς ἀθλήσεως τόπον, εὐχὴν τετελεκὼς, ἑαυτόν τε σφραγίσας, καὶ τὸ Ἀμὴν εἰπὼν, μετεώροις χερσὶν ἔκλινε τὸ γόνυ· καὶ

ioribusque dehonestamentis paulatim esse enecandum. Agarenorum autem turba, partim adulatoriis verbis blandiebantur, enixè rogantes vt sententiam mutaret; partim etiam irruentes ira furebant, desertorem alienumque probro vocitantes; qui nempe eius animi alacritatem ea verborum procacia exscindere tentarēt.

At Christi Martyr, nusquam sibi fraudem fieri passus, cunctisque effectus superior, supremam proficiscebatur: nactusque constitutum agonis locum, fusa prece, impressoq; signaculo, ac dicto Amen, sublatis in cœlum manibus, genu flexo,

ac collo in terram deflexo, ouis instar seipsum lictoribus permisit.

Necis metus sæpius frustra incussus.

Sceleris porro ac improbitatis satelles, metu pœnæ Sanctum terrere tentans, obuerso mucrone ad ceruicis eum vertebram, nulla ex ictu incisione percussit. At firmus interritusque Dei Martyr, paululum caput è terra attollens, austerioreque in spiculatoram obtutu, Seca, inquit, ter maledicte, caliginosæque symmysta apparitorum præfecturæ. Secet Dominus dexteram tuam vtrinque acuto gladio suo. Vrgebat enim Athleta ac festinabat, vt verbis Apostoli loquar,

τὸν αὐχένα πρὸς γῆν καμπυλώσας, ὡς πρόβατον ἐπέδωκεν ἑαυτὸν τοῖς δημίοις.

Ὁ δὲ τῆς ἀνομίας ὑπασπιστής, τῷ φόβῳ τῆς ποινῆς ἐκφοβεῖν τὸν ἅγιον πειρώμενος, ἐπάταξεν αὐτὸν τῷ πλάτει τοῦ δόρατος κατὰ τοῦ σπονδύλου, μηδ᾽ ὅλως τομὴν πεποιηκώς. ὁ δὲ στερρὸς καὶ ἀκατάπληκτος τοῦ Θεοῦ μάρτυς, γῆς μικρὸν ἀνανεύσας, αὐστηρότερόν τε τὸν σπεκουλάτορα ὑποβλεψάμενος, ἔφη, Τέμνε τρικατάρατε, καὶ τῆς ζοφερᾶς στρατιαρχίας συμμύστα. 10 τέμνῃ Κύριος 10
τὴν δεξιάν σου τῇ διστόμῳ αὐτοῦ μαχαίρᾳ· ἔσπευδεν γὰρ ὁ ἀθλητής, ἀποστολι-

κῶς εἰπεῖν, ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι, καὶ τοῖς ἐπικήροις τοῖς δὲ καὶ χαμερπέσι, τὰ ἀκήρατα καὶ ἄυλα ἀντικαταλλάξασθαι.

